UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Ex falsis superscriptionibus itinerariorum sanctorum apostolorum.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

condens, & suspendens in medio castrorum, dicebat: Quicumque morsus fuerit a serpente, intueatur æneum serpentem istum, & credat, quia serpens iste potens est sanare illum, & sanabitur. Vides quomodo ille Moyses, qui præcepit similitudinem non faciendam, similitudinem fecit? *(Num. 21.)*

Ioannes reuerendissimus monachus, presbyter ac vicarius orientalium pontificum, dixit: Ecce manifeste sacratissimi patres nostri, negantes incarnatam dispensationem Christi Dei nostri, dicunt * proiiciendas esse sanctas imagines, Hebræi scilicet & Samaritæ. Itaque qui abiiciunt eas, istis similes sunt. (* *Gr.* proiecisse)

Sancta Synodus dixit: Similes sunt.

Epiphanius Deo amabilis diaconus, & locum retinens Thomæ episcopi Sardiniæ, legit.

## *Ex falsis superscriptionibus itinerariorum sanctorum apostolorum.*

Pictor ergo prima die lineamentis eo designato quieuit. Postera vero die etiam coloribus illum permiscuit, & Lycomedi gaudenti iconam dedit: quam & ponens in cubiculo suo coronauit. Quod cum postea cognouisset Ioannes, dixit ei: Diligende mihi fili, quid agis a balneo * ingressus in cubiculum tuum solus? nonne ego tecum & cum reliquis fratribus oro? an nos celas? Et hæc dicens & ludens, cum eo ingreditur cubiculum, & videt iconam coronatam senioris, & appositas lucernas. & accersito & vocato eo, dixit: (* ingrediēs)

χωνευτὸν δημιουργήσας, καὶ κρεμάσας μέσον τῆς παρεμβολῆς, ἔλεγεν· ὃς ἂν δηχθῇ ὑπὸ ὄφεως, ἀτενιζέτω τῷ χαλκῷ ὄφει τούτῳ, καὶ πιστευέτω, ὅτι ὁ ὄφις οὗτος δυνατὸς ἰάσασθαι αὐτὸν, καὶ ἰαθήσεται. ὁρᾷς, πῶς ὁ παραγγέλλων Μωσῆς ὁμοίωμα μὴ ποιῆσαι, ὁμοίωμα ἐποίησεν;

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς, πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων, εἶπεν· ἰδοὺ προφανῶς οἱ ἱερώτατοι ἡμῶν πατέρες τοὺς ἀρνουμένους τὴν ἔνσαρκον οἰκονομίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν λέγουσιν ἀποβαλέσθαι τὰς ἁγίας εἰκόνας, Ἑβραίους φαμὲν καὶ Σαμαρείτας. ὥστε οἱ ἀποβαλλόμενοι αὐτὰς, τούτοις ὅμοιοί εἰσιν.

Ἡ ἁγία σύνοδος εἶπεν· ὅμοιοί εἰσιν.

Ἐπιφάνιος διάκονος, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ ἐπισκόπου Σαρδινίας, ἀνέγνω.

## Ἐκ τῶν ψευδεπιγράφων περιόδων τῶν ἁγίων ἀποστόλων.

Ὁ οὖν ζωγράφος τῇ πρώτῃ ἡμέρᾳ σκιαγραφήσας αὐτὸν, ἀπηλλάγη. τῇ δὲ ἑξῆς καὶ τοῖς χρώμασιν αὐτὸν κατεκέρασε, καὶ οὕτως τῷ Λυκομήδει χαίροντι τὴν εἰκόνα ἀπέδωκεν. ἣν ἀναθεὶς εἰς τὸν ἑαυτοῦ κοιτῶνα, ἔστεφεν· ὡς ὕστερον γνόντα τὸν Ἰωάννην εἰπεῖν αὐτῷ· ἀγαπητόν μου τέκνον, τί διαπράττῃ ἀπὸ βαλανείου εἰσερχόμενος εἰς τὸν κοιτῶνά σου μόνος; οὐχὶ σὺν σοὶ ἐγὼ καὶ τοῖς λοιποῖς ἀδελφοῖς εὔχομαι; ἢ ἡμᾶς κρύπτεις; καὶ ταῦτα λέγων καὶ παίζων, μετ᾽ αὐτοῦ εἴσεισιν εἰς τὸν κοιτῶνα· καὶ ὁρᾷ εἰκόνα περιεστεμμένην πρεσβύτου, καὶ παρακειμένους λύχνους, καὶ βωμοὺς ἔμπροσθεν. καὶ φωνήσας αὐτὸν εἶπε·



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

ANNO CHRISTI 787.

Λυκομήδες, τί βούλεταί σοι τὸ τῆς εἰκόνος ταύτης; τίς τῶν θεῶν σου τυγχάνει ὁ γεγραμμένος; ὁρῶ γάρ σε ἔτι ἐθνικῶς ζῶντα. καὶ ὁ Λυκομήδης αὐτῷ ἀπεκρίνατο· ὁ θεὸς μὲν μοί ἐστιν ἐκεῖνος μόνος, ὁ ἐμὲ ἐγείρας ἐκ τοῦ θανάτου μετὰ τῆς συμβίου μου. εἰ δὲ καὶ μετὰ τὸν θεὸν τοὺς εὐεργέτας ἡμῶν ἀνθρώποις θεοὺς χρὴ καλεῖσθαι, σὺ εἶ ὁ ἐν τῇ εἰκόνι γεγραμμένος, ὃν στέφω καὶ φιλῶ καὶ σέβομαι ὁδηγὸν ἀγαθόν μοι γεγονότα. καὶ ὁ Ἰωάννης μηδέπω τὸ ἑαυτοῦ πρόσωπον θεασάμενος, εἶπεν αὐτῷ· παίζεις με τεκνίον· τοιοῦτός εἰμι μορφῇ ὑπὲρ τὸν κύριόν σου; πῶς με πείθεις, ὅτι μοι ἡ εἰκὼν ὁμοία ὑπάρχει; καὶ ὁ Λυκομήδης αὐτῷ προσήγαγε κάτοπτρον. καὶ ἰδὼν ἑαυτὸν ἐν τῷ κατόπτρῳ, καὶ ἀτενίσας τῇ εἰκόνι, εἶπε· ζῇ κύριος Ἰησοῦς Χριστὸς, ὁμοία μοι ἡ εἰκών· κακῶς δὲ τοῦτο διεπράξω.

Lycomedes, quid sibi vult imago hæc? quis ex diis tuis est iste depictus? Video enim te adhuc gentiliter viuere. & Lycomedes ei respondit: Deus quidem mihi est ille solus, qui me erexit a morte cum coniuge mea. Si autem & post Deum illos homines, qui benefactores nostri sunt, deos oportet vocari, tu es qui in imagine es depictus, quem corono & amo & colo, quia dux mihi factus es bonus. Et Ioannes vultum suum nondum contemplatus, dixit ei: Illudis mihi filiole mi; tali sum forma super Dominum tuum? quomodo mihi persuadere poteris, quod mihi imago similis sit? & Lycomedes ei attulit speculum. Et videns semetipsum in speculo, & intuens imaginem, dixit: Viuit Dominus Iesus Christus, similis mihi est imago: male autem hoc egisti.

### Ἔτι ὁ αὐτὸς ἀνέγνω ἐκ τῆς αὐτῆς βίβλου, ἧς ἡ ἀρχή.

### *Adhuc idem legit de ipso libro, cuius initium est.*

Ποτὲ βουλόμενος τὸν Ἰησοῦν κρατῆσαι. καὶ μεθ' ἕτερα. ἐν ὑλώδει καὶ παχεῖ σώματι προσέβαλλον. ἄλλοτε δὲ πάλιν ψηλαφῶντός μου αὐτὸν, ἄϋλον ἦν καὶ ἀσώματον τὸ ὑποκείμενον, καὶ ὡς μηδὲ ὅλως ὄν. εἰ δέ ποτε ὑπό τινος τῶν Φαρισαίων κληθεὶς εἰς κλῆσιν ἐπορεύετο, συναπῄειμεν αὐτῷ, καὶ ἕκαστος ἡμῶν ἐλάμβανε τακτὸν ἄρτον ἕνα ὑπὸ τῶν κεκληκότων· ἐν οἷς καὶ αὐτὸς ἐλάμβανεν ἕνα. τὸν δὲ αὐτοῦ εὐλογῶν διεμέριζεν ἡμῖν· καὶ ἐκ τοῦ βραχέος ἕκαστος ἡμῶν ἐχορτάζετο. καὶ οἱ ἡμῶν ἄρτοι ὁλόκληροι ἐφυλάσσοντο, ὥστε ἐκπλήττεσθαι τοὺς καλοῦντας αὐτόν. ἐβουλόμην

Aliquando volens Iesum tenere. Et post alia. In materiali & crasso corpore * congrediebantur. Alias autem iterum palpante me eum, sine materia erat & incorporeum quod suberat, & quasi omnino non esset. Porro si aliquando ab aliquo pharisæorum inuitatus ad recubitum ibat, pergebamus & nos cum ipso; & vnusquisque nostrum accipiebat dispositum panem vnum ab his qui inuitabant: inter quos & ipse accipiebat vnum. Porro suum benedicens, diuidebat nobis; & de pauxillo vnusquisque nostrum saturabatur: panesque nostri integri conseruabantur, ita vt obstupescerent inuitantes eum. Volui

* *Gr.* manus applicui.